πάλιν ἡμᾶς ἐστὶ τῆς μετανοίας χοῦ τε σῶ καθαιρόμεθα ταύτας
πεῖν ἀφ' ὧν ἐκπλυτὸν ἡμῖν ἐντακήσωνται· ὁ ἐξείργασται
ἡ ὀθόνη· ἡ ποικίλη τις οἶμαι καὶ καινή· ὑφαντὴ δὲ ἄλλως
ἐκ τῶν ἄνωθεν μηνυομένων γραφῶν· ὡς ἄνωθε καὶ χριστῷ
προσδεκτή· ὅπως δὲ καὶ πόρας κατ' ἀλλήλους ὡς ἄλλο
παρηρτημένον κρεμαστὸν ἐπιθήσομεν· κύριε ὁ θεός μου
δοξάσω σε καὶ ὑμνήσω τὸ ὄνομά σου· ὅτι ἐποίησας
θαυμαστὰ πράγματα· βουλὴν ἀρχαίαν ἀληθινήν· κατέπιε
γὰρ ὁ θάνατος ἰσχύσας· καὶ πάλιν ἀφεῖλεν ὁ θεὸς
πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου· ἐπάταξας
θανάτῳ παραπτωθέντι ἐν τῷ Ἀδάμ· ἐκόπωσας
καὶ ὑγίασας μετὰ δύο ἡμέρας· τῷ γὰρ μώλωπι αὐτοῦ
ἡμεῖς ἰάθημεν· ἐν δὲ τῇ τρίτῃ ἡμέρᾳ ἀνεστήμεθα· καὶ
ζησόμεθα ἐναντίον σου· οὐ κατηξίωσας γὰρ ὁ ἀπαθὴς
θεὸς γενέσθαι παθητὸς ἄνθρωπος, καὶ θανάτου νόμοις
ὑποπεσεῖν ὁ ἀθάνατος· γέγονας ὁ ὢν ἀληθοῦς
υἱός, παρθένου υἱός· καὶ θεὸς ὢν ὅσα ποιηθῆναι
ἀνθρώποι πέπονθας, καὶ οἱ πολυπαθεῖς ἀπαθεῖς
γεγόναμεν ἐν τοῖς σοῖς θανάτοις, καὶ θνητοὶ ζωῆς
ἐμφορούμεθα ἀνέσεως, καὶ συνανεστήμεθα·
ἀνακεχώρηκας εἰς ἑαυτόν, καὶ ἡ χαμαὶ ἕρπουσα
φύσις, ἐν τοῖς ὑψηλοῖς ὑπεράνω πάσης ἀρχῆς
καὶ ἐξουσίας ἐκ δεξιῶν τοῦ θεοῦ σου συγκαθίσας·
καὶ πάντα ὑποτασσόμενος οἷς κύριε περὶ πάντων
ὧν δέδωκας ἡμῖν· ἢ τίς λαλήσει τὰς
δυναστείας σου κύριε· ἀκουστὰς ποιήσει πάσας τὰς
αἰνέσεις σου· ἀεὶ εὐλογητὸν τὸ ζωοποιὸν ὄνομά σου εἰς τοὺς αἰῶνας,
ἀμήν +